δὲ ἐν πληθυντικῷ· οἷον ὁ τάρταρος, ἡ τάρταρα, τὰ τάρταρα. ὁ ζυγός, τὰ ζυγά· ὁ νῶτος, τὰ νῶτα· ὁ σταθμός, τὰ σταθμά. ὁ μοχλός, τὰ μοχλά. ὁ κύκλος, τὰ κύκλα. ὁ χαλινός, τὰ χαλινά. ὁ ἐρετμός, τὰ ἐρετμά. ὁ λύχνος, τὰ λύχνα. ὁ τράχηλος, τὰ τράχηλα. ὁ δίφρος, τὰ δίφρα. ἡ κέλευθος, τὰ κέλευθα.

## Περὶ τῶν Διαλέκτων τῆς γ^ης κλίσεως.

Ἡ ἑνικὴ γενικὴ ἰωνικῶς λήγει εἰς οιο, δωρικῶς εἰς ω· οἷον λόγοιο, λόγω. ἡ γενικὴ δυϊκὴ ἰωνικῶς εἰς ιν· οἷον λόγοιϊν· ἡ δοτικὴ πληθυντικὴ εἰς οισιν· οἷον, λόγοισιν· ἡ αἰτιατικὴ δωρικῶς, εἰς ως, καὶ ος· οἷον τοὺς λόγως, καὶ λόγος. ως

Προστίθεται ἔτι τισὶ τοῖς εἰς ος, καὶ ον, ταύτης τῆς κλίσεως ἡ φι, ἤτε φιν, συλλαβὴ τοῦ σ, καὶ ν, πρότερον ἀποβαλλομένου. ἔστι δὲ ἄκλιτα κατὰ πάσας τὰς πτώσεις, καὶ ἀριθμούς, ἔστι δὲ καὶ παροξύτονα, ὡς ἐν τοῖς ὑποκειμένοις παραδείγμασι δείκνυται.

## Παραδείγματα τῶν πλαγίων.

| | | | | |
|---|---|---|---|---|
| στρατός, — στρατόφι. | ἐκ ποντόφι. | | ἐκ πόντου. |
| δεξιός, — δεξιόφι. | ἀπὸ στρατόφι. | | ἀπὸ στρατοῦ. |
| χαλκός, — χαλκόφι. | ἐπ' ἰκριόφι. | ἀντὶ | ἐπὶ ἰκρίῳ. |
| πόντος, — ποντόφι. | ἀπ' ὀστεόφιν. | τοῦ, | ἀπὸ τῶν ὀστῶν. |
| ὀστέον, — ὀστεόφι. | τοῖς δακρυόφι. | | δακρύοις. |
| δάκρυον, — δακρυόφι. | ἀμφ' ὀστεόφιν. | | ἀμφὶ τὰ ὀστᾶ. |
| ἴκριον, — ἰκριόφι. | | | |

Ἔνια τῶν ὀνομάτων ταύτης τῆς κλίσεως ἀποκοπὴν ἔτι πάσχουσιν· οἷον, ἄλφι, ἀντὶ ἄλφιτον· κάρα, ἀντὶ κάρηνον. ἔρι, ἀντὶ ἔριον· γλάφυ, ἀντὶ γλάφυρον· καὶ τὰ παραπλήσια. ἔτι ὁ κύρ,

http://digital.slub-dresden.de/ppn334942241/107